**64** Schol. Ap. Rhod. 4. 1153-4, "κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κλῃίζεται ἄντρον | Μηδείης, ὅθι τούς γε σὺν ἀλλήλοισιν ἔμειξαν"... 'Αντίμαχος δὲ ἐν Λύδῃ ἐν Κόλχοις πλησίον τοῦ ποταμοῦ μιγῆναι.

**65** Schol. Ap. Rhod. 4. 259, de reditu Argonautarum 'Ησίοδος δὲ (fr. 241 M.-W.) καὶ Πίνδαρος ἐν Πυθιονίκαις (cf. 4. 25 -7) καὶ 'Αντίμαχος ἐν Λύδῃ διὰ τοῦ 'Ωκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην, καὶ βαστάσαντας τὴν 'Αργὼ εἰς τὸ ἡμέτερον πέλαγος ⟨παρα⟩γενέσθαι.

**66** Ath. 469e

τότε δὴ χρυσέωι ἐν δέπαϊ
'Ηέλιον πόμπευεν ἀγακλυμένη 'Ερύθεια.

**67** Phot. *lex.* ii. 24 Naber = *Suda* iii. 552. 22 Adler

†γενεᾷ Καβάρνους θῆκεν ἀβακλέας ὀργειῶνας.

Cf. Harpocr. s.v. ὀργεῶνας (p. 225. 2 Dindorf).

**68** Porphyrius in Hom. *Il.* 6. 200 (pp. 94-6 Schrader) de Bellerophonte 'Αντίμαχος δὲ ἐν τῇ Λύδῃ, ὅτι τοὺς Σολύμους ἀνεῖλε θεοῖς ὄντας προσφιλεῖς, διὰ τοῦτο μισηθῆναι αὐτόν φησιν ὑπὸ τῶν θεῶν.

**69** Schol. Hom. *Od.* 5. 283 τῆς Κιλικίας εἰσί (τὰ Σόλυμα ὄρη), ὅθεν καὶ οἱ Σόλυμοι. ὠνομάσθησαν ἀπὸ Σολύμου τοῦ Διὸς καὶ Καλχηδονίας, ὡς 'Αντίμαχος λέγει.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/32 UNIVERSITÄT LEIPZIG